Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-61408/fragment/page=0001

Mit Pon Jd 3504 8° einstellen

OV/R

P. 182.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-61408/fragment/page=0002

2051

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-61408/fragment/page=0003

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-61408/fragment/page=0004

# ΠΟΡΤΗϹ ΕΓΚΩΜΙΟΝ

ΤΟ

## ΤΡΙΑΚΟϹΙΟϹΤΟΝ ἘΤΟϹ

## ΠΛΗΡΩϹΑϹΗϹ

ΕΠΟΙΗϹΕ

## Κ. ϹΤΕΙΝΑΡΤΟϹ

ΤΗϹ ΠΟΡΤΗϹ ΔΙΔΑϹΚΑΛΟϹ.

*ΕΚΤΥΠΩΘΕΝ*

*ΕΝ ΑΛΛΑΙϹ ΤΥΠΟΙϹ ΤΟΥ ϹΧΟΥΕΖΚΙΟΥ.*

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-61408/fragment/page=0006

## *Strophae*

–́ ∪ – – –́ ∪ ∪ – ∪ ∪ ⏓
–́ ∪ – – –́ ∪ ∪ – ∪ ∪ – – –́ ∪ – – –́ ∪ ∪ – ∪ ∪ ⏓
–́ ∪ – – –́ ∪ ∪ – ∪ ∪ – – –́ ∪ – – –́ ∪ – ⏓
–́ ∪ ∪ – ∪ ∪ – ∪ ∪ – – –́ ∪ – ⏓
–́ ∪ ∪ – ∪ ∪ – – –́ ∪ – – –́ ∪ ⏓
–́ ∪ – – –́ ∪ – – –́ ∪ ∪ – ∪ ∪ – ∪ ∪ ⏓
–́ ∪ – – –́ ∪ – – –́ ∪ – –́ ∪ ⏓
∪ ∪́ ∪ – – –́ ∪ – ⏓

## *Epodi*

–́ ∪ – – –́ ∪ ∪ – ∪ ∪ – – –́ ∪ – – –́ ∪ ⏓
–́ ∪ ∪ – ∪ ∪ – – –́ ∪ – – –́ ∪ ∪ – ∪ ∪ ⏓
–́ ∪ – – –́ ∪ – – –́ ∪ ∪ – ∪ ∪ ⏓
–́ ∪ ∪ – – –́ ∪ – – –́ ∪ – – –́ ∪ ∪ – ∪ ∪ ⏓
– –́ ∪ ∪ – ∪ ∪ – ∪ ∪ – – –́ ∪ – ⏓
–́ ∪ – – –́ ∪ – – –́ ∪ ∪ ⏓
–́ ∪ – – –́ ∪ ∪ – ∪ ∪ – –́ ∪ – – –́ ∪ – ⏓



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-61408/fragment/page=0007

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-61408/fragment/page=0008

Μοῖσα σεμνά, τίς προσέβα θίασος Στρ. α'.
σοῖσιν οἴκοις; τίς στόλος ἄγαγεν ἄνδρας προσπελάζειν ἄλσεσιν ἁμετέροις;
ἁλίου δυσμᾶν ἄπο, τοὺς δ' ἀνατέλλοντος γὰρ ἐν πομπαῖσιν ἱραῖς
πάντοθεν εὐστεφάνους ἀναβαίνοντας κατεῖδον·
οἷα δ' Ἐλευσινίας ματρὸς πέδῳ μυστᾶν στρατός
ἐλπίδ' ἐξεῦρεν καλὰν σεμναῖς τελεταῖσι πόνων τε λύσιν,
ὣς πορεύονται ποθειναῖς οἵδε βουλαῖς ξένοι
τίνα ποτ' εἰς ἱρὰν ἑορτάν;

χῶρον εἰς εὐανθέα λαμπρότατον, Ἀντ. α'.
οὗ Πυλαία κουροτρόφος πολύκλειτος κλήζεται μάτηρ ἑκατὸν τρὶς ἔτη,
κοῖλον ἵκεσθ' ἐς μυχὸν ἁσύχιον θεῶν εὖ διδόντων οὖρον ἐσθλόν·
δή νιν ὄρος σκιαρὸν ποταμοῦ ξανθοῦ τε δῖναι
ἀμφὶς ἔχουσιν, ἵν' αἰὲν ψῦχος ἅδιστον βροτοῖς
μαλθακαὶ πνείουσιν αὖραι, θερμοτέρα δὲ θεοῖο φλέγει
ἀμπέλου τίκτουσα χλωρᾶς φλὸξ δρόσους, ἁδονᾶν
πολὺ φίλων παγὰν γλυκεῖαν.

ἃ δὲ θρήνων ἄλσεσιν ἐν δασυφύλλοις ποικίλους οἴμους πλέκει Ἐπ. α'.
ἄγγελος ἦρος ἀηδών, ἀντιφώνους οὐρανόθεν δὲ θεά
παγκάλους πόλλ' ἐξανῆκ' ᾠδὰς ὁσίων στομάτων·
πάντοσε δ' εἰράνα θεῶν παῖς παυσίλυπος πίλναται ἐν πεδίοις,
ναοῦ δὲ καὶ ἁσυχία κατέχει θεία πυλῶνας·
ῥᾴονος ζωᾶς βροτοῖς τᾷδ' αὖρα πνέει,
οὗ τάχ' εὐτύκτοιο πύλας διόδοι τῶν ξένων δέξονθ' ὅμιλον.



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-61408/fragment/page=0009

τοῖσι μάτηρ πότνια ταῦτα θροεῖ· Στρ. β'.
χαίρετ' ἐσθλοί, πολλὰ γὰρ ἐν βιοτᾷ λατρεύματ' εὖ νικῶντες ἔτλατε πόνων,
τῶν δ' ἀγώνων ῥεῖ παρ' ἐμοὶ θεόθεν πασᾶν μεριμνᾶν τ' ὔμμι λάθα,
τοῖς φίλον εἶδος ἀνίσταται ἐν μνάμας πτυχαῖσιν,
ἁλικίας καθαρᾶς εὔσεπτον ἕρκος, τὰν πικρόν
θάλπος οὐ βλάπτει θεοῦ, ῥιπαῖς δ' ἀνέμοιο τινασσομένα
οὐ κλονεῖται, ῥεῖα δὲ ζώουσιν εὐδαίμονες
ἐν ἀχέων κρυπτοῖς ἀσύλοις·

οὔ ποτ' ὔμμιν κόλπον ἀνιεμένα Ἀντ. β'.
ἀσμένα ψυχαῖσι γλυκεῖαν ἔδων ῥίζαν καλῶν πάντων ἀγαθῶν τε τροφάν,
ἐκ δὲ παγᾶν ἀενάων δρόσου εὐθάλους σβέσαι δίψαν παρεῖχον,
τοῖς δὲ πιοῦσιν ἀγήραος αἰὲν θυμὸς αὔξει,
τοῦ μένος ἐμπέδοφρον νίκαν ἀγώνων δυσπαλῶν
δῶκ' ἀρίσταν· οἷα δ' Ἀλκείδας ἀρετᾶς ποτε δαιμονίας
σεμνὸν ὡς εἶδεν πρόσωπον θαυμάσας, ἁδονᾶς
φρενοκλόπου μίσησε μορφάν,

ὡς θεᾶς ἁγνᾶς νεότατος ἐν ἀκμᾷ ζᾶλος ἄγ' ὑμᾶς, φίλοι, Ἐπ. β'.
ἀργαλέων διὰ μόχθων ἔν τε τραχείαισιν ὁδοῖσιν ἴχνη
εὖ διώκειν, χῶρον εὐλειμῶνα φυγόντας ἀεί
θελξινόου ῥαθυμίας μολπάν τε Σειρήνων, ἀπάταν γλυκεράν·
ματρὸς γὰρ ἀνάξιος οὔτις ἀνὴρ τλάσει παρεῖναι
σάμερον· τῷ χαίρεθ' ὧν σπουδαῖσι καλαῖς
αὔξεται πατρίς τε θεοῦ βασιλεία τε θάλλει·

ἁμερᾶν μακρᾶν περιτελλομένων — Στρ. γ΄.
ἐξέλαμψ᾽ εἶδος καθαρώτερον αἰεὶ δώματος τοῦδ᾽, οὐρανοῦ ἔνθα πύλα
κλῄζεται· λαμπρὰν δ᾽ ἴδεν ὥς ποθ᾽ ὅρασιν θεῷ παλαίσαις ἁγνὸς ἥρως,
κλίμακας οὐρανόθεν καταπιπτούσας πέδονδε,
ἄγγελοι αἷς καταβάντες, λευκὸν ἐνδύντες φάος,
ἀνδρὸς εἰς θυμὸν καμόντος γαθοσύναν χέαν ἀμβροσίαν,
ἔνθα καὶ πλῆθος θεοπνεύστων βροτῶν οὐρανοῦ
σέλας ἴδον φρίσσοντι θυμῷ·

ἐξ ὅτου λύπας βάρος ἄγ᾽ ὁσίας — Ἀντ. γ΄.
ἄνδρα γενναῖον παρὰ χείλεσι Πλείσας ἁγνὸν εἰράνας ἱερῶσαι ἕδος·
κνίζε γὰρ κῆρ παιδὸς ὑπέρμορος ἄτα, τὸν δ᾽ ἀγρευτὰν ὀξυθήκτῳ
κτεῖνεν ὀδόντι συὸς τέρας εὖ θάλλοντ᾽ ἐν ὥρᾳ·
ἀλλά νιν οὐ Κύπριδος χρυσᾶς τρόποις ἀργῶς πατήρ,
τᾶς πολυπλάγκτου δι᾽ ὑλᾶν ἀμφὶς Ἄδωνιν ἔκλαγξε βοά,
κλαῦσ᾽ ἀνάριθμος στεναγμῶν, τὸν δὲ δῶρον θεοῦ
ἐλέου ὦρσ᾽ εὔοργος ὁρμά.

δενδρέων δ᾽ ἔρνη νεοθαλέα χειμώνων τρέφει δεινὸν μένος, — Ἐπ. γ΄.
καὶ κονιορτὸς ἀγώνων ἀνδρὸς ἀλδαίνει κράτος ἠδὲ φυάν·
καὶ γὰρ ἐχθίσταισι λόγχαις βαρβαρόφωνοι ἔβαν
ἄσυχον ἀμφ᾽ οἶκον νεόδματον βρέμοντες δεινὰ φόνοιο πόθῳ·
λοιμὸς δὲ κάκιστος ἔσωθεν ἀσελγείας ἐφοίτα,
παρθένοι θείων ἐφετμᾶν λασμοσύναν
μαλθακῷ θυμῷ θέμεναι, πάνυ σωτῆρος οὐ σώζουσαι εἶδος.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-61408/fragment/page=0011

τῶν πολυῤῥίζων δὲ κακῶν τίς ἀνήρ Στρ. δ'.
εἰσάπαξ βλάσταν δυνατὸς κατακόψαι; στάζεν ἱδρὼς γὰρ πολὺς ἐκ μελέων,
πρίν ποτ᾽ Αὐγείειον ἕλος δονακῶδες κᾶπον εὐλειμῶνα θῆκεν
Ἀμφιτρυωνιάδεω στιβαρὰ χεὶρ αἰὲν ἀκμής.
ὥς μελανείμονες ἄνδρες παρθένων οἴκους τάχα
ἐκπεσουσᾶν ᾠκίσανθ᾽, ἀλλ᾽ ἀκρασίας θολεροῖσι ῥόοις
ἀμφικλυσθέντες φθίνονθ᾽, οἳ χειλέων ᾄσμασιν
θεὸν ἔχον, θυμὸν δ᾽ ἄναγνον.

τῶν ἀσέπτου δὴ τότ᾽ ἀτασθαλίας Ἀντ. δ'.
ἐνδίκως ὀργὰ ζαμενὴς θεὸν ἐκτέμνειν ἐπῶρσεν τὰν στυγερὰν γενεάν,
τηλόθεν θάλλον δὲ φύτευσε νεωρῆ· ναῖε γὰρ κρυπτὸν πτυχαῖσιν
Ἑρκυνίας πολυπιδάκου ὑλάεσσαν ἕδραν
εὐσεβέων γένος ἀνδρῶν σωφρόνων, οἴκοις ἐνί
ὑψιπύργοις τηλεκλειτοῖς· τῶν δὲ θεὸς προκάλεσσε μέρος
οἳ λάτρεις πάμπαν δικαίους· τοὶ δὲ λυγρᾶς λίπον
διὰ τάχους Πλείσας ῥέεθρα.

ἀσφαλὴς ἀργὴς γὰρ ἐδέξατο χῶρος, λεῖα τὸν ξανθὸς περί Ἐπ. δ'.
αἰόλος ὥστε δράκων γναμπτοῖς ἑλιγμοῖς ῥεῖ γονίμοισι Σάλας·
οὗ μελαμφύλλοισιν ὕλαις φρίξε δασεῖα νάπη,
εὐπαλάμοις χερσὶν τάχ᾽ ἄνδρες καρποβριθεῖς ἐξέφυον στάχυας,
οἴνου δὲ καὶ ἀτρυγέτου παρὰ πέτρας ῥεῦσε παγά,
πῶμα θυμηδὲς βροτοῖσιν, λυσίπονον,
οἷ᾽ ἐν ἀνθρώπων φιλέει βιότοις λάϊνον κῆρ ἐσλα κεύθειν.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-61408/fragment/page=0012

χρυσοπώγων δὴ τότε σεμνὸς ἄναξ — Στρ. έ.
εὐρυκρείων Τευτονίας ἐνὶ δάμοις πᾶσαν ἔδρεψεν κορυφὰν ἀρετᾶς,
ᾧ τε πύργους Ἰταλίας κόνει ἀμαύρωσε τυφλᾷ τηλελαμπεῖς
ὠμὸς Ἄρης, βασιλῆα δὲ πᾶς λαὸς πεφρίκει·
ἀγλαΐαισι δὲ οἱ πᾶς οἶκος ἤνθησεν φίλαις·
ἀλλὰ δὴν λόγχαις δικαίαις κλεινότατον πόθος ἄγε τάφον
ὀμφαλὸν γᾶς ναυστολῆσαι· τῷ δὲ κυμόκτυπος
μόρος ἐπῆν ἱρῷ μαχατᾷ·

τὸν κατακρύψαι σκιόεντος ὄρους· — Ἀντ. έ.
ἄχθος ἐν μέσσοισι Θόριγξιν ἀγαυοῖς μῦθος εὖ μνάμων ἐκράτησε πολύ·
ὕπνον ἄῤῥηκτον γὰρ ἄνακτα καθεύδειν ἐν πετραίοισιν τάφοισιν,
εἰσόκ᾽ ἐλευθερίαν ἐπανελθεῖν μοῖρα κλώση
Τεύτοσι πᾶσιν ἑνός σκάπτοισιν εὖ κοσμουμένοις·
δυσμενῶν ὤλοντο γὰρ πικραῖς πραπίδων ἐρίδεσσιν ἀεί·
νῦν δὲ καὶ πολλοῖς στεναγμοῖς ἐξ ἀνάγκας πικρᾶς
λύσιν ἔτ᾽ ἐλπίζειν λέγοντι·

ἀλλὰ γὰρ πώγων διέπειρε τράπεζαν δευτέρῳ κύκλῳ πάλαι, — Ἐπ. έ.
ἐν ταχυτᾶτι δὲ πᾶς οἰωνὸς ἔκραξ᾽ ἄνστασίν οἱ κρατεράν.
ἀλλὰ μὴ μακρὰν πέτεσθαι, Μοῖσ᾽, ἐπάνελθε· τυφλοῖς
ὄμμασι γὰρ βλέψαι σκότον πᾶσιν βροτοῖς τόλμα σφαλερὰ πέλεται. —
πολλοὶ δὲ πρὸς ἁμέτερον τότε δῶμ᾽ ἵκοντο λαοί,
τοὺς δίωκεν χαλκόπους δεινῶπις Ἀρά,
εὐμενῶς μόχθων δὲ λύσιν στυγερῶν ἱρὸν ἕρκος δῶκ᾽ ἀρέσθαι.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-61408/fragment/page=0013

Στρ. στ'.

τοῦ δὲ καινὸν δώματα καινὰ πέρι
λάμψε κάλλος θεῖον, ἵν' οὐρανομήκης ἵσταται τέχναισι σοφαῖσι πυλάν
τεκτόνων ποικίλμασι μυριομόρφοις λαμπρὸς, ηὐξήθη δὲ ναός,
ἐν δὲ ῥόδον πολυανθὲς ἔφυ, σταυροῦ τε μορφάν
ἱροτάταν τανυμήκεις ἐξέδειξαν κίονες,
πείραθ' ὧν συνδεῖτ' ἐναλλὰξ ἄνθεσι σύνδρομα δαιδαλέοις,
ὡς πικραῖς λύπαις ἀεὶ θνατοῖς καλᾶς ἁδονᾶς
θεὸς ἔδω κάλλιστον ἄνθος.

Ἀντ. στ'.

ἀλλ' ἀέργῳ φθείρεται ἁσυχίᾳ
πᾶν χρέος, καὶ γὰρ θανατηφόρος ἀὴρ πύθεται χειμῶνος ἄθικτος ἀεί·
καὶ βροτοῖσιν δεινὸν ἄημα θυέλλας ἀγρίας ὤρουσε, γαῖαν δ'
αἰθέρι φύρσε μάταν, χάεος δύσμορφον εἶδος,
οὐρανίας ὅτ' ἀλαθείας μεταλλευτοῦ τέκος,
θεῖος ἥρως, τοῦ κρατίστα κνώδαλα πόλλ' ἐδάμασσ' ἀρετά,
θρέμματ' ὄρφνας, σεμνὸν αἰκίαισιν ἐῤῥιμμένον
φρέατος ἐξώρυξ' ἄγαλμα.

Ἐπ. στ'.

φοινία λιγνὺς τότ' ἔκρυψε κελαινὰ κάλλος ἱρῶν δωμάτων·
ἇς δ' ἐν ἀμύμοσιν Ἰνδοῖς σῆμά οἱ κάλλιστον ἔτευξε πυράν
ἁλιώδης θεῖος ὄρνις, ἄνστασίν οἱ καθαράς
αἰὲν ἀπαύστου κρείσσονος ζωᾶς ἐν ὥραισιν περιτελλομέναις,
ἁμῖν δ' ἀνέτειλε νέον φάος ἐκ νυκτὸς βαθείας·
ἔνθα γὰρ Μοισᾶν χοροὺς εὐρυσθενέος
Τεύτοσιν σωτῆρος ἐλευθερίας εὐμενὴς βουλὰ κάλεσσεν.

τοῦ δὲ κάλλους εἶπε φύσιν χαλεπάν Στρ. ζ'.
ἐν σοφαῖς κλεινὸς πραπίδεσσιν ἀνὴρ, ἀρχὰ δ' ἄφαντος τῶν μεγάλων πέλεται·
ἐκ μικροῦ γὰρ σπέρματος ὑψίκομον δρῦν καύματος πολλοῖς βροτοῖσιν
ἄλκαρ ἐς αἰθέρ' ἔθρεψε θεὰ παμβῶτις αἶα·
ἔργα δὲ λαμπρὰ φίλασεν ῥῖγος ἐκπνίγειν φθόνου·
τοῖα καὶ πρῶτος κυβερνάτας μελεδήματα πολλὰ φρονῶν
τᾶς νεοκτίστου παλαίστρας μοισόληπτος Γίγας
θεοσεβεῖ κύμανε θυμῷ.

ἀντὶ πολλῶν ἦν τετράγωνος ἀνήρ, Ἀντ. ζ'.
πολλάκις ψυχὰν δὲ βαθεῖα μεριμνᾶν ἔσχε φροντὶς δώμασιν ἀμφὶ φίλοις.
εἶδε δὴ μάντις σοφὸς ἐν πολυκλύστων κυμάτων ῥιπαῖς ῥέοντα,
ἐν δ' ἀρετᾶς κακὸν ἐχθρὸν ἀεὶ μισητὸν ἐσλοῖς,
οὐρανίους ἴδε κάπους ἁδονᾶν στεῤῥᾷ φυᾷ —
τοῦ γὰρ ὀργᾷ δυσπαλαίστῳ ψεύδεα ποικίλα πάντα τράφη —
δυσμενῶς φθείροντα· παίδων ἄγριος γὰρ πάλαι
ἀθεράπευτος θυμὸς ἔσκεν.

τῷ δὲ θαυμαστὸν θράσος ἦλθε θεοῦ· βωμοῖς γὰρ ὑψηλοῖς κλιθείς Ἐπ. ζ'.
γούνατα κάμψε λιταῖς, νυκτὸς δὲ πέπλος πάντα κάλυψε μέλας·
κιόνων δ' ἔστακε ναοῦ χώρῳ ἐν ἱροτάτῳ
ποικιλοτεύκτων πυκνὸν ἄλσος, θαῦμ' ἰδεῖν, κάρτιστον ἔρεισμ' ὀροφᾶς·
δεινὰν δ' ἴδε δαιμονίαν μυχόθεν στράψασαν αὐγάν,
φωσφόρος δ' ἆσσον φάνη χρυσᾶ νεφέλα,
τᾶς διαστάσας τύπος αἰθέριος φωτὸς ἐξώρουσε θείου.



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-61408/fragment/page=0015

τοῦ δὲ μορφὰ σεμνοπρόσωπος ἔφυ, Στρ. η΄.
δεξιᾷ βάκτρον δὲ φόρει τανύμηκες, σῆμα τῷ σταύρου κορύφωσεν ἄκραν,
φαιὰ δ' ἀμφὶς ῥεῖα κάλυψε μέλη πέπλος καμηλόθριξ ἄκοσμος·
τοῖος ἔην δέμας ἠδὲ φυὰν, οἷος προφάτας
παιπαλόεσσι κελεύθοις δυσβάτοις καινὸν σέλας,
ἔμφοβος τοῦ φεῦγ' ἐχιδνᾶν γέννα πονηροτάτα βέλεα,
χαλκέας βρονταῖσι φωνᾶς ἐξεκάρυξ'· ὃ γάρ
ὄνομα δῶκεν τῷδε ναῷ.

ἀλλ' ἐν εὐφραντοῖς θαμὰ μειδιόων Ἀντ. η΄.
ὄμμασιν φάνθη, νεφέων μένος ὡς ἀκτὶς διέῤῥαξέν ποτε θεσπεσία·
ἱλέως καινὰν δ' ἴδε πίστιος ὁρμὰν αὖθις ἐν θνατοῖς φλέγουσαν,
ὃν δ' ἄρ' ἀμαυρὸν ἔθηκε θυῶν καπνὸς δύσοδμος
ψυχοτακής τε θεοῖς καινοῖσι δᾴδων δυσσεβῶν
φλὸξ πίειρα ψευδομυθῶν καὶ πάταγος στομάτων, καθαρός
πατρὸς ἑρμηνεὺς ἀλαθὴς, ῥᾳδίαν οὐρανοῦ
ὁδὸν ἔδειξ' αὖθις βροτοῖσιν.

πραῢ βλέψας εἶτα Γίγαντι προφάτας θάρσος ἔμπνευσεν φρενί, Ἐπ. η΄.
τὸν δ' ἀγανῶς προσέειπεν· Φίλτατ' ὦ πάντεσσ' ἀγαθοῖσιν ἄνερ,
μειλίχοις λύπαν μαλάσσειν φροντίσι θαῤῥαλέαις·
τῶνδε γὰρ οἴκων ἐκ θεοῦ κεῖται θέμεθλ' ἄῤῥηκτα σιδαρόδετα,
τῶν δὲ κλέος ἔσσεται ἄφθιτον εἰς αἰῶνα μακρόν.
ἀλλ' ἐρήμοις οὔρεσίν τοι τραχαλέοις
φιλτάταν γᾶν ἦν πόρος, οὗ μέλιτος ῥοῦς μίγη κρουνοῖς γάλακτος.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-61408/fragment/page=0016

τῷ τεὸν Μοισᾶν νεότευκτον ἕδος *Στρ. θ'.*
αἰὲν οὔτοι Μοῖρ' ἐπέδασεν ἀπειράτων κακῶν πάντων ἔμεναι μογερῶν·
ὡς γὰρ ἐν Κρήτης ἐριβώλακι γαίᾳ φάσμ' ἄατον ταυρόκρανον
μειρακίων θαλερῶν ἀναρίθμους ἄγε δασμούς,
λοιμὸς Ἄρους κρυεροῦ στυγνοῦ κάσις πόλλ' ἐσπεσών
αἵματος πλήσει γενῦς· αὐτὸς δ' ἄρ' ἐρυθρὸς Ἐνυάλιος
οὐλίαν πεύκαν τινάσσων βάμασιν χαλκέοις
ἄροτον ὠμόφρων πατήσει.

ἀλλὰ τίς νηλέως ὅδε κναπτόμενος *Ἀντ. θ'.*
ἐκ μόθων ἥρως δέμας αἱματόφυρτον νεῦσε καλλίσταν ὁσίαν κεφαλάν,
λαμπρὸν ὡς εὔοσμον ἄφαρ πολύφυλλον καύματος ῥιπαῖσι πνιχθέν
ἐς κόνιν ὦκα πέδονδε καταῤῥεῖ; νοῦς δὲ μάντις
θυμολέοντα πρόφηνεν ταγόν, ὅς θ' ὥρας ἀκμᾷ
ταῖσδ' ἀγυιαῖς ἀντὶ πολλῶν, δουλοσύνας λύσιν αἰσχροτάτας,
φιλτάταν ψυχὰν προθήσει, τοῦ λυτῆρος βροτῶν
ἄδολος ὢν Χριστοῦ μαχατάς.

καινὸν ἤδη παλλομέναν φρένα θράξ' εἴδωλον ἐξ Ἅιδα βυθῶν *Ἐπ. θ'.*
στυγνότατον κακόδαιμον, πυρπνόος Τυφὼν πολύχειρ πολύπους·
τοῦ δὲ παμφθάρτοις κεραυνοῖς γᾶς ἐτρόμησε βάσις,
οὐρανίας δ' ἕδρας κρατεῖν ἀμπνεύμασιν δεινοῖσι λιλαιόμενος
ζῶν αἷμα φόβοις κρυεροῖσιν ἔπαξεν γοργὰ βλέψαις
ἐς φύσιν πέτρας νεκράν, ἱρὸν δὲ φάος
ἁλίου κρύψει μυσαρὸν κνέφας εὐαρμάτων κείνῳ φαλάγγων.

Τευτόνων βροντᾷ τότε τηλεφανεῖ Στρ. ι'.
ἐσχάταν ῥίζαν χθόνιαι κατερείψουσ' ἀστραπαὶ ταῖσδ' αἱμορύτοισι νάπαις.
ἀλλ' ἐκήλοις ὄμμασιν οὐρανόθεν θνατῶν πατὴρ ὕβριν γελάσσαις
νεῦσε γλυκεῖαν ἐπ' εὐρυεδῆ γαῖαν γαλάναν,
ἀμπέτεται δὲ χαρᾷ φρήν, φῶς δροῦσ' εὐάμερον·
ὄψεται πλαχθέντα γὰρ θείῳ πυρὶ τᾶνδε πυλᾶν πολίον
ὄμμ' ὄφιν· τοῦ δ' εὐσεβεῖς λαοὶ δικαίων ὀπί
βασιλέων πνίξουσι κρᾶτα.

πολλάκις καὶ πήματα πολλὰ τεοῖς Ἀντ. ι'.
αὐτογέννητ' ἀμπλακίαις σφετέραις οἴκοις πεσεῖται, φθισίβροτος δὲ θαμά
αὖον αἰθύσσουσα θύελλα τέκνων σοι καρδίαις ἥσει κάκιστον
ἰόν, ὁ δ' ὠκύμορος χλοερὰν βλάσταν ἔκαυσεν·
χειμερίων δὲ κακῶν ἦρος κρατεῖ θείου μένος,
καὶ νέφος θυμοῦ δύσοργον φαιδρὸν ἄγαλμα σόβησ' ἀρετᾶς.
ἁ δὲ μάτηρ μυρίων παίδων προπέμψει θάλος,
σταγόνας ὡς Ἠὼς δρόσοιο.

ὡς δ' ἐν ἄστροις τίμιον ὄμμα σελάνας, εἷς ποτ' ἐκ πάντων τέκνων Ἐπ. ι'.
ἱρὸς ἀοιδὸς ἄωτον λήψεταί σοι θειοτάτας ἀρετᾶς·
οἷα δ' αὐγὰν ὀξυδερκὴς αἰετὸς οὐρανίαν
θαῤῥαλέος βλέψεν, μελῶν κεῖνος πτεροῖς σωτῆρα φαεννοτάτοις,
αἴρει γὰρ ἄφραστος ἔρως ὅσιον κῆρ, μάντις ᾄσει.
τᾶς λιγυφθόγγου δ' ἀοιδᾶς θάμβος ἔχει
ὡς ἀηδοῦς πάντα λεών, ὁ δ' ἀκούσαις πόθῳ θείῳ πέφρικεν.

πᾶν δὲ μολπαῖς ἁδυμελέσσι τάχα Στρ. ιά.
ἄλσος ἀχήσει, φιλίας δὲ βροτοῖς ἅδιστον ἄνθος μουσοπόλων γενεά
μαλθακῶν ὕμνων πτερύγεσσιν ἀείσει καὶ πάτραν σώζοισαν ὀργάν.
κλεινότατον δ' ἀρεταῖσι θρασὺν θρέψει παλαιστάν
Τευτονίας πρόμαχον μάτηρ Πυλαία, τοῦ κράτος
δυσπνόων ἄκλαστον ὄμβρων, οὐρανομήκεος ὡς πίτυος,
φῶς προθήσει καινὸν, ὡς πῦρ τῆλε κούρων Δίος
ἐνὶ κλυδῶσιν λάμψε ναύταις.

ἄτρομος λογχᾶν ὅδε δυσμενέων Ἀντ. ιά.
ὀξὺ φωνᾶς τηλεθρόου βέλος ἥσει, καλλινίκου Τεύτοσιν ἁρμονίας
πᾶσι φαιδρωπᾶς καὶ ἐλευθερίας κάρυξ τυράννοις ἀντιτόλμου.
ἀλλ' ἐπὶ πείρατα γᾶς ἑτέρους θυμὸς θρασύφρων
μοισοτραφεῖς ἀποπέμψει· νῦν γὰρ αἰσχίσταις πέδαις
φίλτατον πρόσχημα γαίας Ἑλλάδα μοῖρ' ἐδάμασσ' ὀλοά·
τᾷ λύσιν τεύξουσι κεῖνοι ῥημάτων φασγάνῳ
ὁμονόων ὄλβον τε θυμῶν.

ἐν δὲ Νείλου θεσπεσίοιο γύαισιν ποικίλαν θηρῶν φύσιν Ἐπ. ιά.
φυλλάδα καὶ πολύμορφον θαυμάτων καὶ παντοδαπῶν ἰδέας
ἐξελίξουσ', οἱ δὲ κωφᾶς σήματα κρυψίνοα
ὀξυμαθεῖς λύσουσι Φικὸς, ῥημάτων ἄῤῥητ' ἀμέτρητα βάθη,
κλάγξει δὲ βάρος σοφίας λίθινος θνατοῖσι Μέμνων·
ἀμφέποντας καὶ τάφον σωτῆρος ὁρῶ,
οὗ μίαν ποίμναν ἄρ' ἔτ' οὐρανίου ποιμένος θρέψει μέριμνα.

σεμνὰ ταῦτ᾽ εἰπὼν θεόμητις ἀνὴρ — Στρ. ιβ'.
φανὸν ἐς δῶμ᾽ αἰθέρος ᾤχετ᾽ ἄφαντος, τοὺς δὲ ναοὺς αὖθις ἔκρυψε κνέφας·
τοῦ δὲ λαμπρὸν φῶς ἀνέτειλε Γίγαντος καρδίᾳ λύπας ἀρωγόν,
πάντα δ᾽ ἐνὶ φρασὶν ᾗσιν ἔπη κίνησ᾽ ἀρίφρων,
πνεῦμα δὲ θεῖον ὄρινεν τοῖον ὑμνῆσαι μέλος·
Ἐν θεῷ πᾶς ἄμμι κἀν ὕπνοισι μακάρτατός ἐστι βίος,
σῆμα γὰρ Χριστοῦ φοροῦμεν, τοῦ χάρις πυρφόρους
διαβόλου τέθραυκ᾽ ὀϊστούς.

τῷ τεαῖς χείρεσσι, πάτερ, πίσυνοι — Ἀντ. ιβ'.
αἰρόμεσθ᾽ ἀνδρῶν ἀμενηνὰ κάρηνα, ζῆν γὰρ ἁμῖν ἐστιν ἀεὶ τὸ θανεῖν·
ἄμμε δεσμοῖς λυγροτάτοισιν ἀνάγκα σώματος θνατοὺς δαμάζει,
ἀμβροσία δὲ σοὶ εὐφροσύνα ζώει σύνοικος·
σιτοφόρος δ᾽ ἐν ἀρούρας κρύπτεται ματρὸς πτυχαῖς
κόκκος, ἀνθρώπων δὲ δειλῶν ῥεῖ δέμας ἐς κόνιν ἠδὲ τέφραν,
ἀλλὰ δόξας ῥίζα καλλίστας ἅμ᾽ αἰωνίας
ἀνατέθηλ᾽ Ἅιδαο νυκτῶν.

τίς κακὰν ἀρκὺν θανάτοιο τρομήσει; σοῦ γὰρ ἐν κάπῳ, θεός, — Ἐπ. ιβ'.
ἐργάται ἐσμέν, ἕως λάμψει βίου φῶς· ὡς μάκαρ αἰέν ἀνήρ,
ὃς δρόμον Χριστῷ πεποιθὼς εὐστέφανον τέλεσεν·
ἀλλὰ σὺ τᾶς ψυχᾶς φύσιν θείαν ἀεὶ ζῶσαν θεράπευε, βροτέ·
εὐδαίμονες ἄγγελοι ἄνδρα φυλάξουσ᾽ ἐσλὸν αἰεί,
εὐσκίαστοι καὶ θεοῦ πατρὸς πτέρυγες
τοῖς τέκνοις ὄρνιθος ἅτ᾽ εὐσεβέος φοινίους ἐχθροὺς ἄμυναν.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-61408/fragment/page=0020

τοῖον ᾠδᾶς ἐξ ὁσίου στόματος Στρ. ιγʹ.
ἄνθος εὔοδμον θεοῦ ἅνδανε θυμῷ· τοῦ δὲ βαπτιστοῦ θεόπομπον ἔπος
οὐκ ἄκραντον δὴ βάσανος χρόνος εἶδεν τᾶς ἀλαθείας κράτιστος.
λαμπρότερον δὲ καλαῖς ἀρεταῖς πίστει τε ματρός
αἰέν ἀλεξίκακος θήσει τέλος βουλὰ θεοῦ·
ὡς δ' ἐς αὐγὰς ἐκ μυχῶν Ἅιδα ποθέοισ' ἀνόρουσε τάχα
ῥίζα φύλλων, ἄνδρα καὶ φῶς χρή βλέπειν, ἀργίας
νύχιον ἐκφεύγοντ' ὄνειρον.

τῷ, Πύλα, θεῖον φάος ἠδὲ δίκαν Ἀντ. ιγʹ.
εὖ τρέφειν, τῶν στίλψε ποτ' οὐράνιον κάλλος χρύσειον στήθεος ἐξ ἱεροῦ·
καὶ θεὸς γὰρ ῥεύματί σευ πολυχρυσῷ παντὸς ὄλβου πλῆσε κόλπους,
οὐρανόθεν δὲ φύλαξ παρέην θεῖος μεσίτης,
καὶ βασιλέων δὲ σοφῶν γνώμα σε πιστὰ θρέψ' ἀεί·
σεῦ γὰρ ἀρχὰν εἶδ' ἄναξ, τοῦ δὴ κλέος οὔτις ὀλεῖ νέμεσις,
εἰσόκεν κύκλους παρ' Ἠοῦς παμφαεῖς ἅλιος
ἀκαμάτοις τέμνῃ δρόμοισιν.

σοὶ δὲ Μοισᾶν ἁδυεπῶν κτίσε κάπους ταγὸς, ὃς λῦσεν βίᾳ, Ἐπ. ιγʹ.
ἀγκυλόμητις Ὀδυσσεὺς ὣν ὁμοῦ καὶ Πηλεΐδας κρατερός,
Τεύτονας δεσμῶν ἀτλάτων· ὄμμασι μειλιχίοις
καὶ μελίγαρυς κύκνος εἶδέν σευ βάσιν Λευθῆρος, ὃν αἰθερίας
ἤδη φέρεν οὐράνιος πόθος αὐγάς· σεῦ δὲ κάλλος
καινὸν ἔστασ' ἐξ ἀγώνων τηλεφανές
ἐσθλὸς ἐν πάντεσσι δίκαιος ἄναξ, ἐν μένει θείῳ κορυστάς.

ψυχαγώγου φεῦγ᾽ ἀπάτας νεφέλαν· Στρ. ιδ΄.
ψεύδεος γὰρ πάντ᾽ ἔπι δόξα τέτυκται, τᾶς δ᾽ ἀλαθείας φάος ἠφάνισεν·
καὶ σιδάρου μαρμαρόεν σέλας ἀχλὺς κρύψεν ἰοῦ· τῷ σὺ παντᾶ
φροντίδος ἔγχεα ῥωμαλέως θήγειν ἀρωγά·
ἀντίπαλος γὰρ ἔφυ γνώμαισιν ὀρθαῖς ἀργία
ἐν σκότῳ ναίουσα, πάντων χερσὶ κακῶν φόρεοισα πίθον·
σοὶ δ᾽ ἔτ᾽ ἐν λυγροῖσι σημείοις ἔδωκεν θεός
ἀδικίας πολλοὺς ἐλέγχους.

παρθένων γὰρ δυσσεβέων γενεάν Ἀντ. ιδ΄.
καὶ δυσορκούντων μοναχῶν κακότατα πλᾶξεν ἀρχᾶθεν φοβερὰ νέμεσις·
σοὶ δὲ παίδων πρωτότοκόν ποτε θρυλλοῦσ᾽ ἀγχόναις εὑρεῖν κρεμαστόν,
δεινὰ λέγειν, μόρον αἰσχρότατον· τοῦ δ᾽ ἦν ἄμορφον
πᾶν δέμας, εἶχε δὲ Κυκλώπων μονόφθαλμον φύσιν,
γυῖα δὲ χλαίνας ἐρυθρᾶς δαιμόνιον σέλας ἀμφὶς ἔβα,
ἱππομόρφῳ καὶ ποδῶν χωλῶν βάσει τοῦ κακοῦ
διαβόλου μιμήσατ᾽ εἶδος.

ἀσφαλὴς ὅπλοις ἀρετᾶς ἀδαμάστοις πᾶν κακῶν νίκα γένος, Ἐπ. ιδ΄.
καὶ θεὸν ἔξοχα πάντων τοῦ τ᾽ ἄνακτος σεμνοτάταν κεφαλάν
εὖ σέβειν καὶ πύργον ἐσθλῶν ἔννομον ἁρμονίαν,
πλῆθος ἀνάριθμον δὲ θρέψεις τᾷ δίκᾳ πάτρᾳ τε φίλᾳ προμάχων
καὶ πίστιος αἰὲν ἐλευθερίαν ὁρμὰν φυλάξεις·
ἄφθιτος ζωά σε δρῶσαν ταῦτα μένει,
εἰ δὲ μή, σοὶ μόρσιμον ἆμαρ ὀλέθρου ῥοπᾷ θᾶσσον τέτυκται.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-61408/fragment/page=0023

95211

X2509471

ULB Halle 3
007 676 026

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-61408/fragment/page=0025

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-61408/fragment/page=0026

# ΠΟΡΤΗϹ ΕΓΚΩΜΙΟΝ

ΤΟ

## ΤΡΙΑΚΟϹΙΟϹΤΟΝ ΕΤΟϹ

## ΠΛΗΡΩϹΑϹΗϹ

ΕΠΟΙΗϹΕ

## Κ. ϹΤΕΙΝΑΡΤΟϹ

ΤΗϹ ΠΟΡΤΗϹ ΔΙΔΑϹΚΑΛΟϹ.

---

*ΕΚΤΥΠΩΘΕΝ*

*ΕΝ ΑΛΛΑΙϹ ΤΥΠΟΙϹ ΤΟΥ ϹΧΟΥΕΖΚΙΟΥ.*

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:3-61408/fragment/page=0027